# ΑΚΟΛΟΥΘΙΑ ΙΕΡΑ

ΕΙΣ ΤΗΝ ΜΕΤΑΣΤΑΣΙΝ

ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ
ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ

# ΜΑΡΙΑΣ

ΕΚ ΠΟΛΛΩΝ ΕΡΑΝΙΣΘΕΙΣΑ, ΕΙΣ ΧΡΗΣΙΝ
ΤΩΝ ΦΙΛΕΟΡΤΩΝ ΧΡΙΣΤΙΑΝΩΝ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ



ΕΝ ΒΕΝΕΤΙᾼ

Ἐκ τῆς Ἑλληνικῆς Τυπογραφίας Φραγκίσκου Ἀνδρεώλα

1836

# ΕΓΚΩΜΙΑ

ἤτοι

## ΑΚΟΛΟΥΘΙΑ ΙΕΡΑ

ΕΙΣ ΤΗΝ ΠΑΝΑΓΙΑΝ ΜΕΤΑΣΤΑΣΙΝ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ,

Ψαλλομένη τῇ ιε΄. τοῦ Αὐγούστου, ἢ τῇ κγ΄. τοῦ αὐτοῦ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μετὰ τό, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, κ. τ. λ.

Τροπάριον. Ἦχος α΄.

Ἐν τῇ Γεννήσει, τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει, τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε· μετέστης πρὸς τὴν ζωήν, Μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν. Ἐκ τρίτου.

Εἰς τὴν α΄. Στιχολογίαν

Κάθισμα, Ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Ἀναβόησον Δαυΐδ, τίς ἡ παροῦσα Ἑορτή; ἣν ἀνύμνησας ποτέ, ἐν τῷ βιβλίῳ τῶν Ψαλμῶν, ὡς Θυγατέρα Θεόπαιδα καὶ Παρθένον, μετέστησεν αὐτήν, πρὸς τὰς ἐκεῖθεν μονάς, Χριστὸς ὁ ἐξ αὐτῆς, ἄνευ σπορᾶς γεννηθείς· καὶ διὰ

τοῦ-

τοῦτο χαίρουσι, μητέρες καὶ θυγατέρες καὶ νύμφαι Χριστοῦ, βοῶσαι, Χαῖρε, ἡ μεταστᾶσα, πρὸς τὰ ἄνω βασίλεια.

Δόξα, τὸ τέλος· καὶ νῦν τὸ αὐτό.

### Εἰς τὴν β΄. Στιχολογίαν,

Κάθισμα, Ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ὁ πάντιμος χορὸς, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ σῶμά σου τὸ ἄχραντον, Θεοτόκε Πανύμνητε· οἷς συνύμνησαν, καὶ τῶν Ἀγγέλων τὰ πλήθη, τὴν Μετάστασιν, τὴν σὴν σεπτῶς εὐφημοῦντες· ἣν πίστει ἑορτάζομεν.

Δόξα, καὶ νῦν, τὸ αὐτό.

### Μετὰ τὸν Πολυέλεον,

Κάθισμα, Ἦχος γ΄.

Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Ἐν τῇ Γεννήσει σου, σύλληψις ἄσπορος, ἐν τῇ Κοιμήσει σου, νέκρωσις ἄφθορος, θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε· πῶς γὰρ ἡ ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; πῶς δὲ ἡ Μητρόθεος, νεκροφόρος μυρίζουσα; διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Δόξα, καὶ νῦν, τὸ αὐτό.

Τὸ α΄. Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄. Ἤχου, καὶ εἶτα, Προκείμενον, Ἦχος δ΄.

Μνησθήσομαι τοῦ ὀνόματός σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
Στίχος. Ἄκουσον Θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου.
Πᾶσα πνοή. Μετὰ δὲ τὸ Εὐαγγέλιον, καὶ τὸν Ν΄. Ψαλμόν,
Δόξα. Ταῖς τῆς Παναχράντου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ



Εἶτα τὸ Πεντηκοστάριον Στιχηρὸν ἰδιόμελον.

Ἦχος πλ. β΄. Βύζαντος.

Ὅτε ἡ Μετάστασις, τοῦ ἀχράντου σου σκήνους ηὐτρεπίζετο, τότε οἱ Ἀπόστολοι, περικυκλοῦντες τὴν κλίνην ἐώρων σε· καὶ οἱ μὲν ἀτενίζοντες τῷ σκήνει, θάμβει συνείχοντο· ὁ δὲ Πέτρος σὺν δάκρυσιν ἐβόα σοι· Ὦ Παρθένε, ὁρῶ σε τρανῶς ἡπλωμένην ὑπτίαν, τὴν ζωὴν τῶν ἁπάντων, καὶ καταπλήττομαι· ἐν ᾗ ἐσκήνωσε τῆς μελλούσης ζωῆς ἡ ἀπόλαυσις. Ἀλλ᾿ ὦ Ἄχραντε, ἱκέτευε ἐκτενῶς τῷ Υἱῷ σου καὶ Θεῷ, τοῦ σώζεσθαι τὴν Πόλιν σου ἄτρωτον.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου. τὸ, Κύριε ἐλέησον, ιβ΄.

Εἶτα οἱ Κανόνες· ὁ α΄. μετὰ τῶν Εἱρμῶν εἰς η΄. καὶ ὁ δ΄. εἰς ς΄. Ζήτει εἰς τὸ Μηναῖον, εἰς τὴν Ἑορτήν.
Μετὰ δὲ τὴν τελείωσιν τῆς ἐννάτης ᾠδῆς, ἄρχεται ὁ πρῶτος Χορὸς τὰ παρόντα τροπάρια, εἰς Ἦχον πλ. α΄.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

### ΣΤΑΣΙΣ Α΄.

„ Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι.

Ἡ Ζωὴ ἐν τάφῳ, κατετέθης Χριστὲ, καὶ ἡ Μήτηρ τῆς ζωῆς κατατίθεται· ξένον θέαμα Ἀγγέλοις καὶ βροτοῖς.

„ Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ.

Μεγαλύνομέν σε, Θεοτόκε ἁγνὴ, καὶ τιμῶμεν τὴν ἁγίαν σου Κοίμησιν, καὶ τὸν τάφον προσκυνοῦμεν τὸν σεπτόν.

„ Οὐ-

„ Οὐ γὰρ οἱ ἐργαζόμενοι.

Μαριὰμ πῶς θνήσκεις, ἡ ζωὴ τῶν Πιστῶν; πῶς δὲ τάφος τὸ σὸν σῶμα ἐχώρησε, τὸ χωρῆσαν τὸν Ἀχώρητον παντί;

„ Σὺ ἐνετείλω τὰς ἐντολάς σου.

Οὐρανῶν τεκοῦσα, Βασιλέα Θεὸν, εἰς οὐράνια βασίλεια σήμερον, μετατίθεσαι Σεμνὴ βασιλικῶς.

„ Ὄφελον κατευθυνθείησαν.

Ἐκ τῆς γῆς μετέστης, καὶ τῆς γῆς οὐδαμῶς, Παναγία Θεοτόκε ἀφέστηκας, ῥυομένη πάντα κόσμον τῶν δεινῶν.

„ Τότε οὐ μὴ αἰσχυνθῶ.

Πᾶσα γῆ δοξάζει, τὴν ταφὴν τοῦ Χριστοῦ, καὶ ὑμνεῖ καὶ τὰ ἐντάφια Δέσποινα, τῆς Ἀχράντε σου Μητρὸς πανευλαβῶς.

„ Ἐξομολογήσομαί σοι.

Ἄγγελοι ὁρῶντες, ἡπλωμένην νεκρὰν, τὴν τῷ κόσμῳ τὴν ζωὴν ἀνατείλασαν, ἐκπληττόμενοι ἐθαύμαζον Ἁγνή.

„ Τὰ δικαιώματά σου φυλάξω.

Ἀπεστάλη πάλιν, ἐκ Θεοῦ Γαβριὴλ, καὶ τὴν σὴν εὐαγγελίζεται ἔξοδον, ἐπουράνιε ἀκήρατε Ἁγνή.

„ Ἐν τίνι κατορθώσει νεώτερος.

Εἰς νυμφῶνα θεῖον, σὲ τὴν νύμφην Θεῦ, ὁ Νυμφίος προσκαλεῖται Θεόνυμφε, συνευφραίνεσθαι ἀεὶ θεοπρεπῶς.

„ Ἐν



„ Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε.

Ἕως θρόνου θείου, ὅπου φῶς τὸ φρικτὸν, τῆς Τριάδος καὶ ἀπρόσιτον ἔφθασας, καὶ κατέπαυσας Παρθένε ἀληθῶς.

„ Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου.

Τῷ Θεῷ προσῆλθες, τοῦ Θεῦ μηδαμῶς, ἡ ἐκ μήτρας χωρισθεῖσα μηδέποτε, Θεοτόκε μεταστᾶσα ἀπὸ γῆς.

„ Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με.

Τὸ σεπτόν σου σῶμα, Κόρη, διαφθορὰν, καὶ ἐν μνήματι οὐκ οἶδεν· ἀλλ᾽ ἔνσωμος, μεταβέβηκας ἐκ γῆς πρὸς οὐρανόν.

„ Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα.

Τὸ πανάγιόν σου, πρόσωπον καὶ νεκρὸν, ὡς Παράδεισος ἐφαίνετο Πάναγνε, χάριν πνέον τοῖς ὁρῶσι καὶ ζωήν.

„ Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου.

Τῶν υἱῶν σου Μῆτερ, τὴν ἀγάπην ἡμῶν, καὶ τὸν ὕμνον τὸν ἐξόδιον πρόσδεξαι, προσφερόμενον ἐκ βάθους τῆς ψυχῆς.

„ Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω.

Ἄνοιξόν σου Μῆτερ, τοὺς σεπτοὺς ὀφθαλμοὺς, καὶ τὰ τέκνα συνηγμένα ἐπίβλεψον, σοῦ τὴν Κοίμησιν δοξάζοντα σεπτῶς.

„ Ἐν τοῖς δικαιώμασί σου μελετήσω.

Ἄνοιξον τὰ χείλη, καὶ δὸς λόγον ἡμῖν, Παναγία Θεοτόκε τοῖς δούλοις σου, τελευταῖον μεταστᾶσα ἀφ᾽ ἡμῶν.

„ Ἀν-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

„ Ἀνταπόδος τῷ δούλῳ σου, ζῆσόν με.

Μὴ ἐάσῃς Μῆτερ, ὀρφανοὺς νῦν ἡμᾶς, ἀπὸ γῆς εἰς οὐρανοὺς νῦν ἀπαίρουσα, τῷ Υἱῷ συνεσομένη καὶ Θεῷ.

„ Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου.

Κύκλῳ τῆς σῆς κλίνης, παρεστῶτες θερμῶς, ἐκβοῶμέν σοι· Παρθένε, ἐλέησον, Παναγία σῶσον πάντας τοὺς Πιστούς.

„ Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ.

Δεῦρο δή μοι Ἄννα, σῆθι νῦν μεθ᾽ ἡμῶν, πανηγύρεως τῆς σῆς προεξάρχουσα, Θεομήτορος ἁγίας Θυγατρός.

„ Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι.

Δεῦρο δῶμεν δόξαν, αἴνεσίν τε Θεῷ, τῷ καλέσαντι αὐτὴν εἰς τὰ Ἅγια, ὡς Ἁγίαν τῶν Ἁγίων τοῦ Θεοῦ.

„ Ἐπετίμησας ὑπερηφάνοις.

Σήμερον ἐδέχθη, οὐρανὸς εὐκλεῶς, τὴν Βασίλισσαν παντὸς, καὶ εὐφραίνεται, βασιλεύουσαν Θεῷ συνθεωρῶν.

„ Περίελε ἀπ᾽ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν.

Ὁ Θεὸς τῆς δόξης, ὁ Υἱός σου Ἁγνὴ, μετὰ δόξης ὡς Μητέρα προσήκατο, καὶ ἐκάθισεν αὐτοῦ ἐκ δεξιῶν.

„ Καὶ γὰρ ἐκάθισαν ἄρχοντες.

Περιβεβλημένη, νῦν παρέστης Θεῷ, καὶ πεποικιλμένη ἐν χάρισιν, ὡς Βασίλισσα καὶ Μήτηρ τοῦ Θεοῦ.

„ Καὶ



„ Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου.

Ἄγγελοι Παρθένε, διηκόνουν ἐν γῇ, Ἄγγελοι καὶ νῦν ἐν τοῖς οὐρανοῖς, σοὶ παρίστανται Ἁγνὴ δουλοπρεπῶς.

„ Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου.

Στρατιαὶ Ἀγγέλων, καταπτᾶσαι Σεμνὴ, μετὰ δέους περιΐσαντο Δέσποινα, τὴν Μετάστασιν θεώμενοι τὴν σήν.

„ Τὰς ὁδούς μου ἐξήγγειλα καὶ ἐπήκουσάς μου.

Νοεραὶ Δυνάμεις, νοερῶς σὺν ἡμῖν, καὶ νῦν ἤδη παρεσῶσαι συμψάλλουσι, τὴν Μετάστασιν δοξάζουσαι τὴν σήν.

„ Ὁδὸν δικαιωμάτων σου συνέτισόν με.

Ἐκ περάτων ἦλθον, οἱ Χριστοῦ Μαθηταὶ, λειτουργῆσαι τῇ κηδεύσει σου Δέσποινα, καὶ ὑμνῆσαί σε τὴν Κοίμησιν Ἁγνή.

„ Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας.

Ὁ Θεὸς Παρθένε, τοὺς Ἀγγέλους αὐτοῦ, καὶ τοὺς θείους Ἀποστόλους προέπεμψεν, εἰς κηδείαν τῆς Μητρὸς υἱοπρεπῶς.

„ Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ᾽ ἐμοῦ.

Τῶν Ἁγίων πᾶσαι, συμπαρῆσαν ψυχαὶ, Προπατόρων Προφητῶν καὶ Δικαίων τε, τὴν ἐξόδιον προσφέρουσαι ᾠδήν.

„ Ὁδὸν ἀληθείας ᾑρετισάμην, καὶ τὰ κρίματά σου.

Σὲ δοξάζει πᾶσα, Θεοτόκε Ἁγνὴ, ζῶσάν τε καὶ νῦν μετὰ θάνατον, οὐρανίων ἐπιγείων ἡ πληθύς.

„ Ἐ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΙΠΠΟΚΡΑΤΟΥΣ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

„ Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε.

Ζῆς καὶ μετὰ πότμον, ζωοδόχε Πηγή· ἐκ ζωῆς γὰρ εἰς ζωὴν μεταβέβηκας, ὡς τεκοῦσα τὴν ἀείζωον ζωήν.

„ Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας.

Εἰ καὶ Κόρη θνήσκεις, ἤδη νῦν καθ' ἡμᾶς, ἀλλὰ πάντων Βασιλὶς ἀναδέδειξαι, ὡς τὸν Κτίστην συλλαβοῦσα τοῦ παντός.

„ Νομοθέτησόν με Κύριε τὴν ὁδόν.

Εἰ καὶ συγκαλύπτῃ, τάφῳ Κόρη σμικρῷ, ἀλλ' αὐτὸς ὁ οὐρανός σοι ἠνέῳκτο, καὶ ἐν θρόνῳ ὑπεδέξατο Θεός.

„ Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου.

Ὁ Πατρὸς ἐκ κόλπων, ἐκφοιτήσας Θεός, καὶ ἐν κόλποις εἰσελθὼν τοῖς σοῖς Ἄχραντε, ὑπεδέξατο ἐν κόλποις σὲ Ἁγνή.

„ Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου.

Ὁ Θεὸς ἐτάφη, καὶ ἡ Μήτηρ Θεοῦ, ἐν τῷ ᾅδῃ ὁ Θεὸς καταβέβηκε, καὶ ἡ Μήτηρ ὑπεισῆλθε τοῦ Θεοῦ.

„ Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου.

Τὸν Υἱὸν Παρθένε, οὐδὲ ἐν τῷ Σταυρῷ, ἐγκατέλιπες· διὸ οὐ κατέλιπε, σὲ νῦν ἤδη συμπαρὼν σωματικῶς.

„ Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν.

Τὴν ταφὴν δοξάζεις, τοῦ Υἱοῦ μητρικῶς, καὶ αὐτὸς ἀντιδοξάζει τὴν Κοίμησιν, τὴν ἁγίαν σου Παρθένε θεϊκῶς.

„ Στή-



„ Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου.

Ἤνεσάν σε πάντες, Ἄγγελοι τοῦ Θεοῦ, ὅτε Κόρη οὐρανοὺς ὑπερβέβηκας, καὶ πεσόντες προσεκύνησαν σεπτῶς.

„ Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα.

Θρόνῳ προσελθοῦσα, τοῦ Ὑψίστου Θεοῦ, προσπεσοῦσα δουλικῶς προσεκύνησας, καὶ παρέστηκας ὁρῶσα τὸν Θεόν.

„ Ἰδού, ἐπεθύμησα τὰς ἐντολάς σου.

Ὢ χαρᾶς ἀφράστου, ὢ ἀπείρου τιμῆς· Μαριὰμ σὺν Ἰησοῦ τῷ Υἱῷ αὐτῆς, βασιλεύει οὐρανοῦ τε καὶ τῆς γῆς.

„ Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε.

Θεοτόκε Κόρη, μεταστᾶσα τῆς γῆς, τοὺς ἐν γῇ μὴ διαλίπῃς φυλάττουσα, προσκυνοῦντας τὴν Μετάστασιν τὴν σήν.

„ Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον.

Οὐρανόθεν Μῆτερ, ὅπου νῦν κατοικεῖς, ἐπιβλέψασα τὴν γῆν εὐσπλαγχνίσθητι, καὶ ἐλέησον τὸν κόσμον Ἀγαθή.

„ Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον.

Οἱ Ἀπόστολοί σου, Θεοτόκε Ἁγνή, τὸ πανάγιον ὡς εἴδοσαν σκῆνός σου, προσπεσόντες κατησπάζοντο σεπτῶς.

„ Καὶ φυλάξω τὸν νόμον σου διαπαντός.

Ἐξοδίους ὕμνους, συνῳδά, καὶ ᾠδάς, συστησάμενοι χορείαν ἐξῆδόν σοι, ἐξιστάμενοι τῇ δόξῃ σου Ἁγνή.

„ Καὶ

„ Καὶ ἐπορευόμην ἐν πλατυσμῷ.

Ἐκ θεοτερποῦς σου, ἀγλαΐας ἐκεῖ, ἐλλαμπόμενοι Παρθένε ἠγάλλοντο, καὶ ἐδόκουν τὸν Υἱόν σου καθορᾷν.

„ Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου.

Τὸ ζωαρχικόν σου, σκῆνος ποίαις χερσὶ, νῦν προσψαύσωμεν Πανάχραντε ἔλεγον, τὸ τοῦ Λόγου ἐνδιαίτημα σεπτόν;

„ Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου.

Ποίους λόγους Κόρη, σοὶ προσείπωμεν νῦν; ποίους ὕμνους ὑπερύμνητε Δέσποινα, τῇ Κοιμήσει σου προσοίσωμεν ἡμεῖς;

„ Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου.

Μαριὰμ Παρθένε, τὸ γλυκὺ τοῦ Θεοῦ, ὄνομα καὶ πρᾶγμα πῶς τέθνηκας, ἡ θεώσασα τὴν φύσιν τῶν βροτῶν.

„ Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου.

Πῶς ὡράθης ἄπνους, ἡ τὸν πᾶσαν πνοὴν, παρεχόμενον ἀῤῥήτως γεννήσασα; ὢ τοῦ πράγματος Παρθένε τοῦ καινοῦ.

„ Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου.

Πῶς ἡ ὑπερβᾶσα, φύσεως τοὺς θεσμοὺς, ὑποκύπτεις τοῖς τῆς φύσεως Δέσποινα καὶ θανάτου πεῖραν ἔσχες καθ' ἡμᾶς.

„ Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα.

Ἡ τὴν νεμομένην, τοῦ θανάτου ὁρμὴν, στήσασα Παρθένε τῷ τόκῳ σου, πῶς θανάτου νῦν ὑπέστης τὴν φοράν;

„ Ἐ-



„ Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος.

Ἡ πυρφόρος βάτος, πῶς πυράγραις αὐτοῦ, τοῦ θανάτου συνεσχέθης Θεόνυμφε, ἡ βαστάσασα Θεότητος τὸ πῦρ;

„ Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν.

Ἐκοιμήθης Κόρη, οὐχὶ τέθνηκας νῦν, καὶ πρὸς κρείττονα ζωὴν καὶ ἀθάνατον, ἀφυπνώσασα εὑρέθης ἐν σαρκί.

„ Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου.

Κιβωτὸς ἡ θεία, ἐν σκηνῇ θαυμαστῇ, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ κατεσκήνωσε, διαθήκης τοῦ Θεοῦ τῆς πρὸς ἡμᾶς.

„ Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου.

Ἡ χρυσέα στάμνος, μετετέθη τῆς γῆς, ἔνθα μάννα τὸ οὐράνιον τέθειται, ἡ Θεόπαις Μαριὰμ πρὸς τὸν Θεόν.

„ Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου.

Τοῦ Θεοῦ καὶ Λόγου, ἡ παστὰς ἀπὸ γῆς, εἰς οὐράνιον παστάδα εἰσέρχεται, ὑπὲρ λόγον ἡ Θεόνυμφος Ἁγνή.

„ Μερίς μου εἶ Κύριε, εἶπα τοῦ φυλάξασθαι.

Τοῦ Εὐαγγελίου, τεθησαύρισαι νῦν, μαργαρίτης ὁ πολύτιμος σήμερον, ἀποκρύφοις θησαυροῖς τοῖς τοῦ Θεοῦ.

„ Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου.

Τῆς οἰκονομίας, τῆς ἐνσάρκου Θεοῦ, τὸ κεφάλαιον αὐτὸ τὸ μυστήριον, ἡ Μετάστασις ἡ σὴ πρὸς τὸν Θεόν.

„ Διε-

„ Διελογισάμην τὰς ὁδούς σου.

Βλέποντές σε Κόρη, τὴν Μητέρα Θεοῦ, ἐδοκοῦμεν τὸν Θεὸν βλέπειν πάντοτε· πῶς δ' ὑποίσομεν νυνὶ τὸν χωρισμόν;

„ Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην, τοῦ φυλάξασθαι.

Ἄπνουν σε προσβλέπειν, τὴν τὸ Πνεῦμα Θεοῦ, κεκτημένην σε Θεόνυμφε ἔνοικον, συνεκλείπει καὶ τὸ πνεῦμα τὸ ἡμῶν.

„ Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι.

Θεοτόκε Κόρη, ἡ χαρὰ ἡ ἡμῶν, Θεοτόκε, τὸ ἡμέτερον κήρυγμα, Θεοτόκε, ποῦ ἀπαίρεις ἀφ' ἡμῶν;

„ Μεσονύκτιον ἐξηγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι.

Ποῦ ἀπαίρεις Κόρη; ποῦ μεθίσασαι νῦν; ὑπεράνω οὐρανῶν ὑπερίπτασαι, ἐκλιποῦσα ἐπὶ γῆς τοὺς νεοσσούς.

„ Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε.

Δαυῒδ Θεοπάτορ, πάρεσο ἤδη νῦν, ἐν ἐξόδῳ τῆς Μητρὸς τοῦ Θεοῦ ἡμῶν, καὶ εὐσήμῳ ἐν ἡμέρᾳ ἑορτῆς.

„ Τοῦ ἐλέους σου Κύριε, πλήρης ἡ γῆ.

Ἄρατε τὰς πύλας, τοῖς Ἀγγέλοις Θεοῦ, ἀναβόησον καὶ νῦν ὑποδέξασθαι, τὴν Μητέρα τοῦ Θεοῦ θεοπρεπῶς.

„ Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου.

Ὁ ὡραῖος κάλλει, Βασιλεὺς οὐρανῶν, νῦν τοῦ κάλλους τῆς Μητρὸς ἐπεθύμησε, καὶ ἐκάλεσεν αὐτὴν ἐν οὐρανοῖς.

„ Χρη-



„ Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με.

Εἰ καὶ Κόρη δέχῃ, τὴν ταφὴν ὡς θνητή, ἀλλ' ὡς Μήτηρ τοῦ Θεοῦ ἐξανέστης δέ, διὰ Πνεύματος Θεοῦ τοῦ παντουργοῦ.

„ Πρὸ τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα.

Θεοδόχον σῶμα, εἰ καὶ τάφῳ χωρεῖ, ἀλλ' ἐν τάφῳ διαμένειν οὐκ ἔμαθεν, ἀλλ' ἀνίσταται δυνάμει θεϊκῇ.

„ Χρηστὸς εἶ σὺ Κύριε, καὶ ἐν τῇ χρηστότητί σου.

Ἡ ταφή σου κλίμαξ, Θεοτόκε Ἁγνή, σοὶ τῇ κλίμακι οὐράνιος γέγονε, δι' ἧς ἔφθασας Θεὸν τὸν ἐπ' αὐτῆς.

„ Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων.

Ὁ φωσφόρος λύχνος, τοῦ ἀδύτου φωτός, ὑπὸ γῆν μὲν πρὸς μικρὸν ὑποκρύπτεται, ἀλλὰ τέθειται λαμπρῶς ἐφ' ὑψηλοῦ.

„ Ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω.

Ἡ καταραθεῖσα, ἐκ Θεοῦ ἅπαξ γῆ, ἡγιάσθη τῇ ταφῇ τοῦ Θεοῦ ἡμῶν, καὶ νῦν πάλιν τῇ ταφῇ σου τῆς Μητρός.

„ Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν.

Οὐρανόθεν πίπτει, φεῦ ὁ ἄσαρκος πρίν, ὑπεράνω οὐρανῶν βαβαὶ γίνεται, νῦν ἡ ἔνσαρκος Παρθένος Μαριάμ.

„ Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με.

Τὸ ἀξίωμά σου, καὶ ἡ δόξα Ἁγνή, εἰσελήλυθε τῆς δόξης ἐνώπιον, τοῦ Κυρίου, μεταστάσης ἀπὸ γῆς.

„ Ἀγα-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΓΡΗΓΟΡΗΣ ΠΑ...

„ Ἀγαθός μοι ὁ νόμος τῦ ςόματός σε.

Πύλη διὰ πύλης, ὢ πραγμάτων καινῶν, οὐρανὸς εἰς οὐρανὸν νῦν εἰσέρχεται, καὶ ὁ θρόνος ἐν τῷ θρόνῳ τοῦ Θεοῦ.

Δόξα Πατρί.

Ἀνυμνοῦμεν Λόγε, σὲ τὸν πάντων Θεὸν, σὺν Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι, καὶ δοξάζομεν τὴν θείαν σε μορφήν.

Καὶ νῦν.

Μακαρίζομέν σε, πᾶσαι αἱ γενεαὶ, Θεοτόκε ἀειπάρθενε Δέσποινα, καὶ δοξάζομεν τὴν Κοίμησίν τὴν σήν.

Καὶ πάλιν ὁ πρῶτος Χορὸς τὸ πρῶτον.

Ἡ ζωὴ ἐν τάφῳ, κατετέθης Χριστὲ, καὶ ἡ Μήτηρ τῆς ζωῆς κατατίθεται, ξένον θέαμα Ἀγγέλοις καὶ βροτοῖς.

Εἶτα Συναπτὴ μικρὰ, καὶ Ἐκφώνησις.

Ὅτι εὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία τοῦ Πατρὸς, κ. τ. λ.

Καὶ θυμιάσαντος τοῦ Ἱερέως, ἄρχεται ὁ ἀριστερὸς Χορὸς τῆς β'. Στάσεως.

## ΣΤΑΣΙΣ Β'.

Ἄξιόν ἐστι, μεγαλύνειν σε τὸν Ζωοδότην, τὸν τὴν ζωηφόρον Μετάςασιν, μεγαλύναντα Μητρός σου τῆς Ἁγνῆς.

„ Αἱ



„ Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με.

Ἄξιόν ἐστι, μεγαλύνειν σε τὴν Θεοτόκον, τὴν ψυχὴν τὴν θείαν καὶ ἄμωμον, ἐν χερσὶ παραθεμένην τοῦ Θεοῦ.

„ Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται.

Ἵστατο πληθὺς, καὶ ἐξίστατο πᾶσα Ἀγγέλων, βλέπουσα Θεὸν τὸν ἀπρόσιτον, προσιόντα τῇ Μητρὶ σεμνοπρεπῶς.

„ Ἔγνων Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου.

Ἔφριξε Θεὸν, κατερχόμενον πάλιν ὁρῶσα, καὶ ψυχὴν φρικτῶς χειριζόμενον, καὶ ἐν δόξῃ ἀνελθόντα θεϊκῇ.

„ Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με.

Φρίξον οὐρανὲ, καὶ σὺ ῥήματα γῆ ἐνωτίζου, Θεὸς ὑπὲρ πάντων πρὶν κάτεισι, καὶ νῦν δεύτερον εἰς γῆν ὑπὲρ Μητρός.

„ Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου.

Οἶκον ἑαυτῆς, μετοικίσασα γῆς ἡ σοφία, πρὸς τὸν ἑαυτῆς ὑπερκόσμιον, νῦν ἐπλήρωσε τῆς δόξης τοῦ Θεοῦ.

„ Αἰσχυνθήτωσαν ὑπερήφανοι.

Οὐκ ἐξ οὐρανοῦ, ἡ Θεόνυμφος Κόρη κατέβη, ἀλλ' εἰς οὐρανοὺς ἀνεβέβηκεν, ὡς τεκοῦσα ἐπουράνιον Θεόν.

„ Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε.

Νῦν ὁ οὐρανὸς, βατὸς γέγονε καὶ τοῖς ἀνθρώποις. Δεῦτε χριστοφόροι οὖν ἅπαντες, συνανέλθωμεν Μητρὶ τῇ τοῦ Θεοῦ.



„ Γε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΠΑΠΑΣΤΡΑΤΟΥ

„ Γενηθήτω ἡ καρδία μου ἄμωμος.

Ἔδυς ὑπὸ γῆν, ἡ ἀνήροτος γῆ τοῦ Κυρίου, στάχυν τῆς ζωῆς ἡ βλαστήσασα, καὶ ἐν χώρᾳ ὑπεξέδυς οὐρανοῦ.

„ Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου.

Ἥλιος ἰδὼν, πρὶν τὸν Ἥλιον δικαιοσύνης, εἶδε καὶ Σελήνην νῦν δύνασαν, τὴν Παρθένον καὶ Μητέρα τοῦ φωτός.

„ Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου.

Τάφος ἀφεγγὴς, τὸ κατάσκιον καὶ φωτοφόρον, ὄρος τοῦ Κυρίου ἐκάλυψε, τὸ καλύψαν οὐρανοὺς τῇ ἀρετῇ.

„ Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ.

Εἰ καὶ ἀπὸ γῆς, πρὸς οὐράνια μετέστης Κόρη, ἀλλὰ πᾶσα γῆ συναγάλλεται, καὶ δοξάζει τὴν Μετάστασιν τὴν σήν.

„ Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου.

Εἰ καὶ οὐρανὸς, τὸ ἀκήρατον σῶμα συνέχει, ἀλλ' ἡ χάρις Κόρη ἐκκέχυται, καὶ πληροῖ ἅπαν τὸ πρόσωπον τῆς γῆς.

„ Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας.

Ὕμνοις πρὸς Θεὸν, προσευχαῖς τε καὶ νηστείαις Κόρη, ταύτας τὰς ἡμέρας σχολάζουσα, ἐξεδέχου τὴν Μετάστασιν τὴν σήν.

„ Παραβραχὺ συνετέλεσάν με ἐν τῇ γῇ.

Χαίρει ἡ ψυχὴ, καὶ τὸ πρόσωπον φῶς ἐξαστράπτει, ἤδη ἐκδημούσης πρὸς Κύριον, Παναγία καὶ Κυρία τῶν Πιστῶν.

„ Κα-



„ Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω.

Ἤδη οἱ Πιστοὶ, ἐπιτάφιον ὕμνον τελοῦμεν, σοὶ τῇ ἀπαρχῇ τῆς ζωῆς ἡμῶν, παριστάμενοι τῷ τάφῳ σου σεπτῶς.

„ Εἰς τὸν αἰῶνα Κύριε ὁ λόγος σου διαμένει.

Πόθῳ σε πιστοὶ, νῦν ὀρθρίζοντες δοξολογοῦμεν, Δέσποινα Παρθένε ἀμόλυντε, καὶ δοξάζομεν τὴν Κοίμησιν τὴν σήν.

„ Ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει.

Μνήσθητι ἡμῶν, τὴν Μετάστασιν τὴν σὴν Παρθένε, τῶν πιστῶς ὑμνούντων Θεόνυμφε, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

„ Τῇ διατάξει σου διαμένει ἡμέρα.

Νῦν ὁ δυνατὸς, ὡς προέφησας σοὶ μεγαλεῖα, Ἄχραντε Παρθένε ἐποίησεν, οὐρανοῦ τε καὶ τῆς γῆς ὁ Ποιητής.

„ Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστί.

Ἔστασαι νυνὶ, πρὸ Θεότητος τῆς τριπροσώπου, πρόσωπον πρὸς πρόσωπον βλέπουσα, ὅπου πρόσωπα καλύπτει Σεραφίμ.

„ Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι.

Νῦν ὁ οὐρανὸς, συναγάλλεται τῇ γῇ καὶ χαίρει, ἄνθρωποι Ἀγγέλοις συνήνωνται, μεταστάσης τῆς Ἁγνῆς ἐν οὐρανῷ.

„ Σός

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

„ Σὸς εἰμὶ ἐγὼ, σῶσόν με.

Νῦν Ἰωακεὶμ, συνευφραίνεται ἐπὶ τῇ δόξῃ, τῆς Παιδὸς αὐτοῦ καὶ Θεόπαιδος, τῇ ἀῤῥήτῳ καὶ ἐνθέῳ ἀληθῶς.

„ Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με.

Ἡ Γεθσημανὴ, τὸν μακάριον τάφον λαχοῦσα, καὶ παρθενικὸν μακαρίζεται, τιμωμένη ὡς παστὰς βασιλική.

„ Πάσης συντελείας εἶδον πέρας.

Δεῦτε οἱ Πιστοὶ, εἰς τὸν ἅγιον τάφον Κυρίου, καὶ τῆς Παναγίας αὐτοῦ Μητρὸς, προσκυνήσωμεν ἐν φόβῳ καὶ χαρᾷ.

„ Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε.

Ἱερουσαλὴμ, καταλάβωμεν πάντες προθύμως, καὶ τὰ τελεσθέντα Μυστήρια, ἐποψόμεθα Θεοῦ τὰ πρὸς ἡμᾶς.

„ Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με.

Ἄγγελοι σεπτῶς, περιέπουσιν Ἁγνὴ τὸν τάφον, τὸν σεπτόν σου φῶς ἐξαστράπτοντα, φωτιζόμενον φωτὶ τῷ τοῦ Θεοῦ.

„ Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα.

Ἔφριξαν ὁμοῦ, ἐναέρια πνεύματα πάντα, τὴν εἰς οὐρανούς σου ἀνάβασιν, καὶ κατέπτηξαν τὸ κράτος σου Ἁγνή.

„ Ὑπὲρ πρεσβυτέρους συνῆκα.

Ἔπτηξε Σατᾶν, ἰδὼν αὖθις τὸ φῶς ἐν τῷ ᾅδῃ, καὶ θρηνῶν καὶ στένων ἐκραύγαζε· Τί ἐμοὶ, καὶ σοὶ ὦ Μῆτερ τοῦ Θεοῦ;

„ Ἐκ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



„ Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα.

Ὢ πλοῦτος Θεοῦ, ὢ ἀμέτρητον βάθος ἀγάπης, καὶ τὰ καταχθόνια ἔπλησε, τῆς ἐνδόξου παρουσίας τῆς Μητρός.

„ Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα.

Πρὶν ὑπὲρ ἡμῶν, ἐν τῷ ᾅδῃ ὁ Χριστὸς κατῆλθε, νῦν δὲ δι' ἡμᾶς ἀνελήλυθεν, ἡ Παρθένος Μαριὰμ ἐν οὐρανῷ.

„ Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου.

Κάθοδον Θεοῦ, καὶ τὴν ἄνοδον τὴν σὴν Παρθένε, προσκυνῶ δοξάζω καὶ σέβομαι, ὡς αἰτίας τῆς εἰσόδου μοι ζωῆς.

„ Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα.

Ζώνην τὴν σεπτὴν, εἰς μαρτύριον τῆς σῆς ἐνσάρκου, γῆθεν πρὸς Θεὸν μεταστάσεως, ἐγχειρίζεις Θεοτόκε τῷ Θωμᾷ.

„ Λύχνος τοῖς ποσί μου ὁ νόμος σου.

Εἰ καὶ ὁ Θωμᾶς, νῦν ὁ Δίδυμος πάλιν ἐκλείπει, ἀλλὰ Μυστηρίων ἠξίωται, τῇ ἐνδόξῳ Ἀναστάσει τοῦ Χριστοῦ.

„ Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα.

Ἀραβιανὸν, σκολιώτατον γένος Ἑβραίων, τὸν Υἱὸν Σταυρῷ παραδέδωκας, καὶ τὰς χεῖρας νῦν κινεῖς κατὰ Μητρός.

„ Ἐταπεινώθην ἕως σφόδρα Κύριε, ζῆσόν με.

Πῶς τῆς Κιβωτοῦ, τὸ κιβώτιον Θεοῦ τοῦ ζῶντος, κατασπᾷν ἀλάστορ τετόλμηκας; ἀλλ' ὑπέφθασεν ἡ δίκη τὴν τομήν.

„ Τὰ

„ Τὰ ἑκȣ́σια τȣ̃ ςόματός μȣ εὐδόκησον δή.

Κάτω σε Ἁγνή, οἱ Ἀπόςολοι περιεκύκλȣν, ἄνω αἱ Δυνάμεις ὑπήντων σοι, ὡς Ἀγγέλων τε Κυρία ϗ βροτῶν.

„ Ἡ ψυχή μȣ ἐν ταῖς χερσί σȣ διαπαντός.

Θρῆνον ἱερόν, συντελȣ̃ντές σοι Κόρη ἐβόων· Πῶς σε τȣ̃ Θεȣ̃ τὸ παλάτιον, συγκαλύψωμεν τῇ γῇ νεκροπρεπῶς;

„ Ἔθεντο ἁμαρτωλοί παγίδα μοι.

Πῶς τὸν λογικόν, ὑπὲρ ἔννοιαν πᾶσαν καὶ λόγον, τοῦ Υἱοῦ καὶ Λόγȣ Παράδεισον, παραδώσομεν τῷ τάφῳ σε Ἁγνή;

„ Ἐκληρονόμησα τὰ μαρτύριά σȣ εἰς τὸν αἰῶνα.

Λόγοις θεϊκοῖς, Θεοκήρυκας παραμυθȣ̃σα, τὸ πολὺ τῆς λύπης διέλυες, προσλαλȣ̃σα Θεομῆτορ μητρικῶς.

„ Ἔκλινα τὴν καρδίαν μȣ τȣ̃ ποιῆσαι τὰ δικαιώματά σȣ.

Πένθος τὴν χαράν, τȣ̃ Κυρίȣ καὶ Υἱȣ̃ μȣ τέκνα, τῆς πρὸς τὸν Θεὸν ἐνδημίας μου, μὴ ἐργάσησθε τοῖς δάκρυσιν ὑμῶν.

„ Παρανόμȣς ἐμίσησα, τὸν δὲ νόμον σȣ.

Πρέσβις πρὸς Θεόν, ἤδη ἄπειμι ὑπὲρ τȣ̃ κόσμȣ· μεθ' ὑμῶν εἰμὶ ἐν τῷ κόσμῳ δέ, σὺν Κυρίῳ ὡς ὑπέσχετο ἀεί.

„ Βοηθός μȣ, καὶ ἀντιλήπτωρ μȣ εἶ σύ· εἰς τȣ̀ς λόγȣς σȣ.

Ῥίπτομεν Ἁγνή, τὸ πανάγιον ϗ θεοδόχον, σῶμά σȣ προσψαῦσαι οἱ δȣ̃λοί σȣ, ϗ κηδεῦσαι τὴν Μητέρα τῆς ζωῆς.

„ Ἐκ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΗΤΟΡΗΣ ΠΑΠΑ...



„ Ἐκκλίνατε ἀπ' ἐμȣ̃ πονηρευόμενοι, καὶ ἐξερευνήσω.

Τίνας στολισμȣ́ς; τίνα σπάργανα Κόρη καὶ μύρα; τίνα δὲ ἐντάφια ᾄσματα, τῇ κηδεύσει σȣ προσφέρωμεν Ἁγνή;

„ Ἀντιλαβȣ̃ μȣ κατὰ τὸ λόγιόν σȣ, καὶ ζῆσόν με.

Βασιλεῖς τῆς γῆς, καὶ οἱ πλȣ́σιοι λαȣ̃ Παρθένε, πρόσωπον τὸ σὸν λιτανεύουσι, Βασιλέως ȣ̓ρανȣ̃ ὡς Θυγατρός.

„ Βοήθησόν μοι καὶ σωθήσομαι, καὶ μελετήσω.

Θεὸς ἐν Μητρί, ἀνεπαύσατο ἐν γῇ ὡς βρέφος, νῦν δ' ἐν οὐρανῷ ἀναπαύεται, καὶ εὐφραίνεται ἡ Μήτηρ ἐν Θεῷ.

„ Ἐξȣδένωσας πάντας τȣ̀ς ἀποςατȣ̃ντας.

Νῦν ἡ Μαριάμ, τὸ πανάχραντον σῶμα Κυρίȣ, τὸ τεθεωμένον ἀγάλλεται, θεωμένη ἐν τῷ θρόνῳ τȣ̃ Θεȣ̃.

„ Παραβαίνοντας ἐλογισάμην πάντας τȣ̀ς ἁμαρτωλȣ́ς.

Ἤκȣσας ἐκεῖ, νῦν τὰ ἄρρητα ῥήματα Κόρη, καὶ τὰ τῆς σοφίας σοι ἄδηλα, καὶ τὰ κρύφια ἐδήλωσε Θεός.

„ Καθήλωσον ἐκ τȣ̃ φόβȣ σȣ τὰς σάρκας μȣ.

Ἤρθη ἀπὸ γῆς, ἡ περίδοξος Πόλις Κυρίȣ, περὶ ἧς ἐνδόξως λελάληνται, καὶ εἰσήχθη εἰς τὸν οἶκον τοῦ Θεοῦ.

„ Ἐποίησα κρίμα καὶ δικαιοσύνην, μὴ παραδῷς με.

Ἤρθη ἀπὸ γῆς, ἡ ἀμίαντος γῆ καὶ παρθένος, ἐξ ἧς ὁ Ἀδὰμ πεπλαστούργηται, τοῦ προπάτορος Ἀδὰμ ὁ Πλαστουργός.

„ Ἐκ-

„ Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν, μὴ συκοφαντησάτωσάν με.

Νῦν ὁ οὐρανός, ὑποδέχεται Θεοῦ τὸ ἅρμα, μυριοπλασίως τὸ ἅγιον, σὺν Ἁγίων μυριάσιν εὐκλεῶς.

„ Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου.

Σήμερον ἐκ γῆς, ἡ ἀμόλυντος παναγεστάτη, ἔνθα τὸ ἀρχέτυπον ἵδρυται, ἀναφέρεται εἰκὼν καινοπρεπῶς.

„ Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου.

Ἐνθεαστικῶς, τὸν θεόγλυπτον νῦν Ἀνδριάντα, κάλλος τὸ τῆς γῆς περιούσιον, μετατίθησι Θεὸς ἐν οὐρανῷ.

„ Δοῦλός σου εἰμὶ ἐγώ, συνέτισόν με καὶ γνώσομαι.

Βίβλος μυστική, ἐν ᾗ γέγραπται Θεοῦ ὁ Λόγος, ἐν χερσὶ Θεοῦ κατατίθεται, οὐρανίων Μυστηρίων εἰς γραφήν.

„ Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν.

Ὡς περιστερά, τετρωμένη τῆς ἀγάπης Κόρη, θρόνον τοῦ Θεοῦ περιίπτασαι, παριπτᾶσα νοσσιὰν τὴν ἐπὶ γῆς.

„ Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου.

Γῆς καὶ οὐρανοῦ, παμβασίλεια οἷα Μαρία, εἰς τὴν βασιλείαν εἰσάγαγε, τοὺς δοξάζοντας τὴν Κοίμησιν τὴν σήν.

„ Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου.

Κοίμησον Ἁγνή, τῇ Κοιμήσει σου τῇ ζωηφόρῳ, παῦσον Ἐκκλησίας τὰ σκάνδαλα, καὶ στερέωσον αὐτὴν ὡς ἀγαθή.

„ Θαυ-



„ Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν.

Ὑμνοῦμεν Ἁγνή, νῦν τὴν Κοίμησιν καὶ τὴν Ταφήν σου, καὶ πάντες πιστῶς ἐκθειάζομεν, λυτρωθέντες τοῦ θανάτου διὰ σοῦ.

„ Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ.

Κλίνην τὴν σεπτήν, τὴν ἁγίαν σε καὶ θεοδόχον, σεπτῶς ἐπὶ κλίνης θεώμενοι, οἱ Ἀπόστολοι ἐβόων ἐν κλαυθμῷ.

„ Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα.

Ἔντεινε σεμνή, ἀειπάρθενε Κόρη Μαρία, καὶ κατευοδοῦ καὶ βασίλευε, εἰς αἰῶνας τῶν αἰώνων σὺν Θεῷ.

Δόξα Πατρί.

Ἄναρχε Θεέ, συναΐδιε Λόγε καὶ Πνεῦμα, ὕψωσον τὸ κέρας Χριστιανῶν, ὡς παντελεήμων καὶ ἀγαθός.

Καὶ νῦν.

Τέξασα ζωήν, παναμώμητε ἁγνὴ Παρθένε, καὶ πρὸς τὴν ζωὴν μεταστᾶσα νῦν, καταξίωσον καὶ πάντας τοὺς Πιστούς.

„ Καὶ πάλιν ὁ δεύτερος Χορὸς τὸ πρῶτον.

Ἄξιόν ἐστι, μεγαλύνειν σε τὸν Ζωοδότην, τὸν τὴν ζωηφόρον Μετάστασιν, μεγαλύναντα Μητρός σου τῆς Ἁγνῆς.

„ Εἶτα Συναπτὴ μικρά, καὶ Ἐκφώνησις.

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον, κ. τ. λ.

ΣΤΑ-

ΠΑΝΕΛΛΗΝΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ... ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΣΤΑΣΙΣ Γ'.

### Ἦχος Γ'.

„ Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με.

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ Ταφῇ σȣ, προσφέρουσι Παρθένε.

„ Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σȣ.

Δεῦρο πᾶσα κτίσις, ὕμνους ἐξοδίους, προσοίσωμεν τῇ Κόρῃ.

„ Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων.

Οἱ Μαθηταὶ Χριςȣ͂ μȣ, κηδεύȣσι τὸ σῶμα, Μητρὸς τῆς τοῦ Θεοῦ μȣ.

„ Τὸ πρόσωπόν σȣ ἐπίφανον ἐπὶ τὸν δȣ͂λόν σȣ.

Ἀγγέλων Ἀρχαγγέλων, αἱ τάξεις παρεστῶσαι, συνύμνουν ἀοράτως.

„ Διεξόδȣς ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου.

Αἱ τίμιαι Γυναῖκες, μετὰ τῶν Ἀποσόλων, ἐβόων θρηνῳδοῦσαι.

„ Δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σȣ.

Ἀπείρανδρε Παρθένε, Θεȣ͂ Μῆτερ ὑψίστου, πῶς φέρωμεν τὸ πάθος;

„ Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου.

Ἡ σὴ νῦν ἐκδημία, χαρὰ παντὶ τῷ κόσμῳ, ἡμῖν δὲ πένθος λύπης.

„ Ἐξέ-



„ Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο.

Τῆς σῆς φιλοστοργίας, καὶ τῆς κηδεμονίας, μὴ ἀπορφανισθῶμεν.

„ Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δȣ͂λός σου.

Πῶς τὸ γλυκὺ τὸ ὄμμα, τὸ φῶς ἡμῶν Παρθένε, ὑποίσωμεν μὴ βλέπειν;

„ Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος.

Πῶς τὸ φιλόθεόν σου, καὶ θεολόγον στόμα, σιγῇ φεῦ, συνεδέθη;

„ Ἡ δικαιοσύνη σȣ, δικαιοσύνη εἰς τὸν αἰῶνα.

Μητρὸς τοῦ Διδασκάλȣ, ἡμῶν οὐκ ἀποστῶμεν, Ἀπόστολοι ἐβόων.

„ Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με.

Ἐν νεφέλαις πάλιν, προπεμψομένη σε Κόρη, ἕως τῶν οὐρανίων.

„ Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα.

Ἡ ῥάβδος ἡ ἁγία, τάφῳ κατατεθεῖσα, ζωὴν ἀναβλαστάνει.

„ Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μȣ, ἐπάκȣσόν μου.

Τῷ τάφῳ κατετέθη, ἡ τοὺς νεκροὺς ἐκ τάφων, ἐγείρασα τῷ τόκῳ.

„ Ἐκέκραξά σοι σῶσόν με, καὶ φυλάξω τὰ μαρτύρια.

Ποῦ ἀπαίρεις Μῆτερ; ὁ Φίλος καὶ Παρθένος, υἱοπρεπῶς ἐβόα.

„ Προ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

„ Προέφθασα ἐν ἀωρίᾳ, καὶ ἐκέκραξα.

Εἰς τὴν χαρὰν Υἱϋ σου, ἀπαίρεις Θεομήτορ, καὶ γέγηθας καὶ χαίρεις.

„ Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον.

Ἡ ἐν Κανᾷ τῷ γάμῳ, νῦν πάλιν προσεκλήθης, μετὰ τῶν Ἀποστόλων;

„ Τῆς φωνῆς μου ἄκουσον Κύριε, κατὰ τὸ ἔλεός σου.

Παράλαβε Παρθένε, πρὸς τὸ θεῖόν σου Τέκνον, κἀμὲ νῦν τὸν υἱόν σου.

„ Προσήγγσαν οἱ καταδιώκοντές με ἀνομίᾳ.

Μετάστησόν με Μῆτερ, τῇ σῇ νῦν Μεταστάσει, πρὸς τὸν ἐκ σοῦ τεχθέντα.

„ Ἐγγὺς εἶ σὺ Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

Ἵνα συμπαραστῶμεν, ἐν οὐρανῷ τῇ δόξῃ, ὡς ἐν Σταυρῷ τῷ πάθει.

„ Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου.

Σὺν Νόων μυριάσι, κατῆλθεν ὁ Δεσπότης, Γεθσημανὴ ἀγάλλου.

„ Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με.

Τῶν Μαθητῶν χορεία, εὐφράνθητε ἰδόντες, τὸν Κύριον ἐν δόξῃ.

„ Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με.

Πᾶσα ἡ γῆ σκιρτάτω, Θεὸν αὖ κατιόντα, σήμερον κατιδοῦσα.

„ Μα-



„ Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία.

Ἐξέλθωμεν ταχέως, εἰς ὑπαντὴν Κυρίου, αὖθις συγκαταβάντος.

„ Οἱ οἰκτιρμοί σου πολλοὶ Κύριε, κατὰ τὸ κρίμα σου·

Ἀκουτισθῶμεν πάντες, Θεοῦ νῦν συλλαλοῦντος, Μητρὶ τῇ παναχράντῳ.

„ Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με.

Ὦ γλυκυτάτη Μῆτερ, πρὸς τὸ γλυκύτατόν σου, ἐλθὲ χαίρουσα Τέκνον.

„ Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην.

Ἴδε νῦν ὁ Υἱός σου, ἰδοὺ παραλαβεῖν σε, εἰς τὰ ἴδια ἦλθε.

„ Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα, Κύριε.

Ἐνώπιον τῆς δόξης, Πατρὸς ἐμφανισθῆναι, τὴν δόξαν τῆς Μητρός μου.

„ Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα·

Δοξάζω σου Θεέ μου, πρὸς τὸν Υἱὸν ἡ Μήτηρ, τὴν ἄκραν εὐσπλαγχνίαν.

„ Ἄρχοντες κατεδίωξάν με δωρεάν.

Δοξάζω σε Υἱέ μου, καὶ προσκυνῶ τὴν δόξαν, τῆς σῆς μεγαλωσύνης.

„ Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου.

Πλησίον τοῦ Πατρός μου, ἐλθέ μου ἡ πλησίον, τῆς γῆς ἐξαναστᾶσα.

„ Ἀδι-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

„ Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην.

Κῆπος ὁ κεκλεισμένος, ἔνθα ζωῆς τὸ ξύλον, καὶ τῆς ἀθανασίας.

„ Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, ἐπὶ τὰ κρίματα.

Πηγὴ ἐσφραγισμένη, ὅπου τρυφῆς χειμάῤῥους, τῆς πανυπεραῤῥήτου.

„ Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου.

Ὑμνολογῶ Υἱέ μου, τὸ τῆς Θεότητός σου, τῆς ὑπερθέου κράτος.

„ Προσεδόκων τὸ σωτήριόν σου Κύριε.

Ὑμνολογῶ Θεέ μου, τὴν συγκατάβασίν σου, καὶ τὴν φιλανθρωπίαν.

„ Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου.

Δεῦρο ἡ καλή μου, ἀπόλαυε τοῦ κάλλους, τοῦ σοῦ Υἱοῦ καὶ Πλάστου.

„ Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου.

Δεῦρο δή μου Μῆτερ, εἰς τὴν χαρὰν τὴν θείαν, καὶ εἰς τὴν βασιλείαν.

„ Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε.

Δεῦρο δὴ Μαρία, ἔνθα συμπροσκυνεῖται, Πατὴρ Υἱὸς καὶ Πνεῦμα.

„ Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε.

Τί σοι ἀνταποδώσω, Θεάνθρωπε Υἱέ μου, ἡ δούλη τῷ Δεσπότῃ;

„ Ἐξε-



„ Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με.

Τί νῦν σοι προσενέγκω, ἐν οὐρανῷ Θεέ μου, εἰμὴ ψυχὴν καὶ σῶμα;

„ Φθέγξοιτο ἡ γλῶσσά μου τὰ λόγιά σου.

Δοξάζω τὸν Πατέρα, ὑμνῶ σε τὸν Υἱόν μου, καὶ προσκυνῶ τὸ Πνεῦμα.

„ Ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

Δόξα σοι Θεοτόκε, δόξα τῇ σῇ Γεννήσει, δόξα καὶ τῇ Κοιμήσει.

„ Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με.

Ἀδάμ τε καὶ ἡ Εὔα, ἐξέστησαν ἰδόντες, τὴν δόξαν τῆς Παρθένου.

„ Ἐπεπόθησα τὸ σωτήριόν σου Κύριε.

Ἰωακεὶμ καὶ Ἄννα, μακάριοι τεκόντες, τῷ κόσμῳ Θυγατέρα.

„ Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε.

Ὑπερδεδοξασμένην, ὑπερανῳκισμένην, οἷα Θεοῦ Μητέρα.

„ Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον.

Εἰρήνην Ἐκκλησίᾳ, λαῷ σου σωτηρίαν, δώρησαι σῇ Κοιμήσει.

Δόξα Πατρί.

Ὦ Τριὰς Θεέ μου, Πατὴρ Υἱὸς καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον.

Καὶ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Καὶ νῦν.

Ἰδεῖν τὴν τοῦ Υἱοῦ σου, Παρθένε βασιλείαν, ἀξίωσον τοὺς δούλους.

Εἶτα οἱ δύω Χοροὶ τὸ πρῶτον.

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ σου, προσφέρουσι Παρθένε.

Καὶ εὐθὺς τὰ Εὐλογητάρια εἰς Ἦχον πλ. ά.

Εὐλογημένη Δέσποινα, φώτισόν με, φωτὶ τῷ τῦ Υἱῦ σου.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθεῖσαν, τὴν ψυχὴν δὲ εἰς χεῖρας, τῦ Θεοῦ παραθεῖσαν, καὶ σὺν τῷ Θεῷ ἀνελθοῦσαν Ἄχραντε, μετὰ δόξης θείας εἰς τὰ ὐράνια.

Εὐλογημένη Δέσποινα, φώτισόν με, φωτὶ τῷ τῦ Υἱῦ σῦ.

Τίνος χάριν, τὴν χαρὰν τοῖς δάκρυσι, Θεοκήρυκες κιρνᾶτε; ὁ ἐξ ὕψους, προσφοιτήσας Δίδυμος, προσεφθέγγετο τοῖς Ἀποστόλοις· Ἴδετε ὑμεῖς τὴν ζώνην καὶ ἤσθητε· ἡ Παρθένος ἐξανέστη τοῦ μνήματος.

Εὐλογημένη Δέσποινα, φώτισόν με, φωτὶ τῷ τῦ Υἱῦ σῦ.

Ὁ Μαθητὴς, ἀπιστήσας Δέσποινα, τὴν Ἀνάστασιν τὴν τῦ Υἱῦ σῦ, νῦν πιστῦται τὺς λοιπὺς τὴν Ἔγερσίν σῦ, λέγων· Θρήνῦ ὁ καιρὸς πέπαυται, μὴ κλαίετε· τὴν Ἀνάστασιν δὲ, τῆς Παρθένῦ εἴπατε.

Εὐλογημένη Δέσποινα, φώτισόν με, φωτὶ τῷ τῦ Υἱῦ σῦ.

Θεοφόροις Παρθένε, Μαθηταῖς ἠθροισμένοις, πρὸς τὸ μνῆμά σῦ καὶ θρηνολογῦσιν, ἐπιφανεὶς ὁ Θωμᾶς ἔφη, λέγων·

γων·



γων· Τί μετὰ νεκρῶν τὴν ζωὴν λογίζεσθε; ὡς Θεοῦ γὰρ ἐξανέστη Γεννήτρια.

Δόξα Πατρί.

Προσκυνῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα· τὴν ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ ὐσίᾳ, σὺν τοῖς Σεραφὶμ κράζοντες τὸ, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε.

Καὶ νῦν.

Ζωοδότην τεκῦσα, πρὸς ζωὴν τὴν ἀγήρω, μεταβέβηκας ἤδη· χαρμονὴν δὲ Παρθένε ἀντὶ λύπης παρέσχες, πρὸς τὺς Μαθητὰς, ἐκ τάφυ τριήμερος, ἀναστᾶσα Κόρη, καθὼς ὁ Κύριος.

Ἀλληλῦϊα, Ἀλληλῦϊα, Ἀλληλῦϊα, Δόξα σοι ὁ Θεός. Τρίς.

Εἶτα Συναπτὴ, καὶ Ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν ὐρανῶν, κ. τ. λ.

Ἐξαποστειλάριον. Ὁ οὐρανῶν τοῖς ἄστροις.

Ἀπόσολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μυ, παράλαβέ μυ τὸ πνεῦμα. Ἐκ τρίτυ.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχυς δ'. Ἦχος δ'.
Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῇ ἐνδόξῳ Κοιμήσει σῦ, Οὐρανοὶ ἐπαγάλλονται, καὶ Ἀγγέλων γέγηθε τὰ στρατεύματα· πᾶσα ἡ γῆ δὲ εὐφραίνεται, ᾠδήν σοι ἐξόδιον, προσφωνῦσα τῇ Μητρὶ, τοῦ τῶν ὅλων δεσπόζοντος, ἀπειρόγαμε, Παναγία Παρθένε ἡ τὸ γένος, τῶν ἀνθρώπων ῥυσαμένη, προγονικῆς ἀποφάσεως. Δίς.



Ἐκ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐκ περάτων συνέδραμον, Ἀποςόλων οἱ πρόκριτοι, θεαρχίῳ νεύματι τοῦ κηδεῦσαί σε, καὶ ἀπὸ γῆς αἰρομένην σε, πρὸς ὕψος θεώμενοι, τὴν φωνὴν τοῦ Γαβριήλ, ἐν χαρᾷ ἀνεβόων σοι· Χαῖρε ὄχημα, τῆς Θεότητος ὅλης, χαῖρε μόνη, τὰ ἐπίγεια τοῖς ἄνω, τῷ τοκετῷ σου συνάψασα.

Τὴν ζωὴν ἡ κυήσασα, πρὸς ζωὴν μεταβέβηκας, τῇ σεπτῇ Κοιμήσει σου τὴν ἀθάνατον, δορυφορούντων Ἀγγέλων σοι, Ἀρχῶν καὶ Δυνάμεων, Ἀποςόλων Προφητῶν, καὶ ἁπάσης τῆς κτίσεως, δεχομένου τε, ἀκηράτοις παλάμαις τοῦ Υἱοῦ σου, τὴν ἀμώμητον ψυχήν σου, Παρθενομῆτορ Θεόνυμφε.

**Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄.**

Τὴν σήμερον μυςικῶς, ὁ μέγας Ψαλμῳδὸς, προδιετυποῦτο, λέγων· Ἀνάςηθι Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ Κιβωτὸς τοῦ ἁγιάσματός σου· καὶ αὖθις· Παρέςη, λέγων, ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ, περιβεβλημένη πεποικιλμένη· τοῦτο γὰρ ἐςὶν εὐλογημένον Σάββατον, αὕτη ἐστὶ καταπαύσεως θεία ἡμέρα, ἐν ᾗ κατέπαυσε τοῦ ζῆν, ἡ Μήτηρ τῆς ὄντως ζωῆς, διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας, τῇ σαρκὶ σαββατίσασα καὶ μεταστᾶσα, καὶ εἰς οὐρανοὺς ἀνεληλυθυῖα, δυνάμει τοῦ ἐξ αὐτῆς σαρκωθέντος Χριςοῦ τοῦ Θεοῦ, καὶ σὺν αὐτῷ εἰς αἰῶνας αἰώνων διαιωνίζουσα, καὶ παρέχουσα ἡμῖν ζωὴν αἰώνιον, τοῖς μετὰ πόθου τιμῶσι, τὴν ἱερὰν αὐτῆς Κοίμησιν.

Δοξολογία Μεγάλη· εἶτα ἡ Λιτὴ, μεθ᾽ ἣν λέγει ὁ Ἱερεὺς τὸ, Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία· καὶ εὐθὺς ψάλλομεν τὰ ἑπόμενα Τροπάρια.

**Ἦχος β΄. Ὁ εὐσχήμων Ἰωσήφ.**

Ὁ εὐσχήμων Μαθητῶν, χορὸς νῦν θεῖος ὦ Σεμνὴ, τὸ ἄχραντόν σου σῶμα, δακρύοις καθαροῖς, εἱλήσας ὡς ἀρώ-

μα-



μασιν, ἐν μνήματι σεπτῷ, κηδεύσας ἀπέθετο· ἀλλὰ τριήμερος μετέςης Δέσποινα, δοῦσα παντὶ τῷ κόσμῳ τὸ θεῖον ἔλεος.

**Δόξα Πατρί.**

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ζωῆς Μῆτερ ἀθάνατε, τότε ὁ ᾅδης ἐθαύμασε, καὶ κατεπλάγη ἐξαίσιον· ὅτε δὲ ὤφθης μεταστᾶσα, εἰς οὐρανοὺς Μαριὰμ ἐκ τοῦ μνήματος, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων μετὰ δέους ἐκραύγαζον· Ζωηφόρε Μήτηρ τῆς ζωῆς ἡμῶν, δόξα σοι.

**Καὶ νῦν.**

Τοῖς θυηπόλοις Μαθηταῖς, Γεθσημανῇ Θεοῦ Μητρὸς, κομίζουσι τὸ σκῆνος, ὃν ὕμνον ἐκφωνῶ, ὑπάρχει ἁρμόδιος, Χριςοῦ Μητρὶ ἀληθῶς, τῇ μόνῃ Θεόπαιδι· διὸ κραυγάσατε· Ἀνάςα ὦ Δέσποινα, παρέχουσα πᾶσι τὸ μέγα ἔλεος.

Καὶ γίνεται συνήθως ἡ ἱερὰ κατάθεσις, ὥσπερ κἀν τῷ μεγάλῳ Σαββάτῳ ἀπαραλλάκτως. Μετὰ δὲ ταῦτα λέγει ἐν τῷ μέσῳ ὁ Ἀναγνώστης τὸ παρὸν Τροπάριον εἰς Ἦχον δ΄.

Μητέρα σε ἐν παρθένοις, καὶ Παρθένον ἐν μητράσιν ἀμίαντον, πρὸ τόκου, ἐν τόκῳ, καὶ μετὰ τόκον δοξάζομεν Μητροπάρθενε, ἐν εἰλικρινεῖ καὶ ἀδιςάκτῳ πίστει τε καὶ καρδίᾳ, μὴ ἐρευνῶντες καθόλου τὸ, Πῶς; καὶ γὰρ ὑπὲρ πᾶν πῶς ἔνι πάντα τὰ σά, ἀπειροχαρίτωτε μακαρία Μαρία. Δώρησαι οὖν ἡμῖν, καὶ τὴν πάντιμον σὺν αὐτοῖς τιμῶσί σου Κοίμησιν, παραπτωμάτων συγχώρησιν, ὡς φιλάγαθος.

**Προκείμενον, Ἦχος δ΄.**

Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ Κιβωτὸς τοῦ ἁγιάσματός σου.

Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

Προ-

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα.

Κεφάλ. ΜΓ'. 29. Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν· καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ Ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς, καὶ ἔσται κεκλεισμένη· διότι ὁ Ἡγούμενος οὗτος καθήσεται ἐν αὐτῇ, τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου· κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς Βορρᾶν, κατέναντι τοῦ οἴκου· καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

Καὶ εὐθὺς, τὸν Ἀπόστολον.

Προκείμενον Ἦχος γ'. Ὠδὴ τῆς Θεοτόκου.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Κεφάλ. Β'. 5. Ἀδελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ Σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων,

καὶ



καὶ ἐπιγείων, καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Ἀλληλούϊα, Ἦχος πλ. δ'.

Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου.

Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου.

## ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριὰμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα, κ. τ. λ.

Μετὰ δὲ τὸ Εὐαγγέλιον, ψάλλει, εἰ βούλεται ὁ Προεστὼς, τὰ παρόντα τροπάρια, καὶ ἀσπάζονται οἱ ἀδελφοὶ τὴν ἁγίαν Εἰκόνα τῆς Κοιμήσεως.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε, ἐκ τοῦ κόσμου ἡ ζωὴ, τὴν ζωὴν παντὸς ἡ τεκοῦσα, Υἱὸν Θεοῦ ἐν σαρκὶ, ἤρθης ἀναβαίνουσα, πορείας θείας Ἁγνὴ, οὐρανοῦ μετ' ἐκπλήξεως, τὸ ἅγιον Πνεῦμα, τίς ἡ ἀναβαίνουσα, ἐκ τῆς ἐρήμου νυνὶ, αὕτη ἀνεκραύγαζε τότε· τὸ δὲ πᾶν σὺν φόβῳ ἐβόα· Δόξα τῇ ἀνόδῳ σου φιλάγαθε.

Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου.

Ὅτε, ἐν τῷ τάφῳ Μαριὰμ, τῆς Γεθσημανῆ κατετέθης, σαρκὶ φυσίζωε, τότε κτίσις ἅπασα ἰδοῦσα σ' ἔπτηξεν, ὁ δὲ Κτίστης τὸ πνεῦμά σου, τὰς χεῖρας ἁπλώσας, χάριεν ἐδέξατο, ὡς ὀφειλέτης Υἱός· ὅπερ Ἀσωμάτων αἱ τάξεις, βλέπουσαι σὺν φόβῳ ἐβόων· Δόξα τῇ ἀνόδῳ σου φιλάγαθε.

Πα-

Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου.

Ὅτε, Ἱερέων ἡ τριάς, Ἀρεοπαγίτης ἐκεῖνος, καὶ Ἱερόθεος, σὺν Διονυσίῳ σου, τὴν θείαν ἔμαθον, παναχήρατε Κοίμησιν, τότε δακρυῤῥόως, ταῦτα διεξίασι, πρὸς σὲ πῶς οἴσομεν, πάθος, ἐν τῷ κόσμῳ, καὶ γάρ σε, ὦ Παρθενικὴ τὸν Υἱόν σου, ᾠμεθα ὁρᾶν παρηγορούμενοι.

Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν.

Ὅτε, αἱ Δυνάμεις Μαριάμ, ὑπὸ τῶν Ἑβραίων ἑώρων καθυβριζόμενον, τὸ ἀπειροτίμητον, καὶ θεῖον Σῶμά σου, τότε ξίφει ἀπέκοψαν, τὰς χεῖρας ἐκείνου, τοῦ τοῦ θείου Σκίμποδος, ἐναψαμένου οἰκτρῶς· τότε καὶ τυφλώσει τυφλώττει, δίκη ἡ ἀόρατος Κόρη, πάντας τοὺς κενά σοι μελετήσαντας.

Δόξα, καὶ νῦν. Ἦχος πλ. ά.

Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς ὥσπερ ἱμάτιον, Υἱὸν Θεοῦ τὴν κυήσασαν, τὸ σῖφος τῶν Μαθητῶν αὐτοῦ θεωρῆσαν νεκράν, καθηπλωμένην ἐν σκότου ἐμπλέῳ μνήματι, καὶ εὐσυμπάθητον θρῆνον ἀναλαβόν, ὀδυρόμενον ἔλεγεν· Οἴμοι, γλυκυτάτη Μαριάμ, ἣν πρὸ μικροῦ ἐγὼ εἶχον παρηγορίαν, καὶ ᾠόμην βλέπον σε, τὸν ἐμαυτοῦ Διδάσκαλον θεᾶσθαι· ἀλλ' ἰδοὺ νῦν βλέπω σε, ὑπελθοῦσαν θάνατον τῷ τῆς φύσεως λόγῳ· ὦ πῶς σε κηδεύσω Παρθένε; ἢ πῶς σινδόσιν εἰλήσω; ποίαις χερσὶ δὲ προσψαύσω, τὸ σὸν ἀκήρατον Σῶμα; ἢ ποῖα ᾄσματα μέλψω, σοῦ τῇ ἐξόδῳ οἰκεῖα; πῶς δὲ ὑποίσω Κυρία, σοῦ τὴν δεινὴν ἀπουσίαν; ἢ πῶς ἀπόνως βαστάσω, τὴν πάνδεινον ὀρφανίαν; ἐπαπορῶ μακαρία, Θεοκυῆτορ Μαρία· καὶ ἐνωδύνῳ καρδίᾳ, ὑφαίνω τὴν ὑμνῳδίαν, καὶ μεγαλύνω σε Δέσποινα. Ὑμνολογῶ τὴν Σύλληψίν σου, γεραίρω σου τὴν θείαν Γένναν, τιμῶ την Εἴσοδόν σου Κόρη, ἐκθειάζω δὲ τὴν Κοί-



μησίν σου, καὶ τὴν παναγίαν Ταφήν σου, σὺν τῇ Μεταστάσει κραυγάζων· Κύριε δόξα σοι.

Ἐκτενής. Εἴπωμεν πάντες. Πληρώσωμεν, κ.τ.λ.

Καὶ Ἀπόλυσις.

---

## Εἰς τὴν Λειτουργίαν, τὰ παρόντα Ἀντίφωνα.

Ἀντίφωνον Α'. Ἦχος β'.

Στίχ. ά. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.
Στίχ. β'. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Στίχ. γ'. Τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου, καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Στίχ. δ'. Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Δόξα, καὶ νῦν.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Ἀντίφωνον Β'. Ἦχος β'.

Στίχ. ά. Ἄκουσον Θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις θαυμαστός, πρεσβείαις τῶν Ἀποστόλων, ψάλλοντάς σοι, Ἀλληλούϊα.
Στίχ. β'. Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.
Στίχ. γ'. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.

Στίχ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΓΡΗΓΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Στίχ. δ'. Ἀπενεχθήσονται τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς.

Σῶσον ἡμᾶς Υἱὲ Θεῦ.

Δόξα, καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς, καὶ Λόγος τῦ Θεῦ, κ. τ. λ.

Ἀντίφωνον γ'. Ἦχος ά.

Στίχ. ά. Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ Κιβωτὸς τοῦ ἁγιάσματός σου.

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας.

Στίχ. β'. Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν, καὶ ὐ μὴ ἀθετήσει αὐτήν.

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας.

Στίχ. γ'. Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας.

Στίχ. δ'. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ἡρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας.

Εἰσοδικόν.

Μνησθήσομαι τοῦ ὀνόματός σε ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Τροπάριον.

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας. κ. τ. λ.

Ἡ Ὑπακοὴ, Ἦχος πλ. ά.

Μακαρίζομέν σε πᾶσαι αἱ γενεαὶ, Θεοτόκε Παρθένε· ἐν σοὶ γὰρ ὁ ἀχώρητος Χριστὸς ὁ Θεὸς ἡμῶν χωρηθῆναι εὐδόκησε. Μακάριοι ἐσμὲν καὶ ἡμεῖς, προστασίαν σε ἔχοντες· ἡμέρας γὰρ καὶ νυκτὸς πρεσβεύεις ὑπὲρ ἡμῶν, καὶ τὰ σκῆπτρα τῆς Βασιλείας, ταῖς σαῖς ἱκεσίαις κρατύ-



-νονται· διὸ ἀνυμνῦντες βοῶμέν σοι· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Κοντάκιον, Ἦχος πλ. β'.

Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις ὐκ ἐκράτησεν· ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

Μεγαλυνάρια εἰς τὴν αὐτὴν Ἑορτήν.

Πέτρε δεῦρο βλέψον θαῦμα καινόν· καὶ βόησον φρίττων· Τί τὸ ξένον τῦτο Ἁγνή; πῶς ζωῆς Μητέρα, ὁρῶ σε ἡπλωμένην, ὑπτίαν ἐν τῇ κλίνῃ; ὢ ξένον θέαμα.

Ἕτερον ὅμοιον.

Σήμερον συγχαίρει ὁ ὐρανὸς, καὶ ἡ γῆ σκιρτῶσα, συνεκάλεσε τὺς βροτοὺς, εἰς ὕμνον καὶ δόξαν, τῆς μόνης Παναχράντου, τῆς ἀπὸ γῆς ἀρθείσης, εἰς τὰ οὐράνια.

Κοινωνικόν.

Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

ΤΕΛΟΣ, ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ.

ΚΟΡΓΙΑΛΕΝΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΚΑΤΑΛΟΓΟΣ

## ΤΩΝ ΦΙΛΟΓΕΝΩΝ ΣΥΝΔΡΟΜΗΤΩΝ

Ὁ πανιερώτατος ἅγιος Μητροπολίτης Κερκύρας, κύριος Χρύσανθος. . . . . . . . . . Σώμ. 50

Ὁ πανοσιολογιώτατος Διδάσκαλος κύριος Βαρθολομαῖος Κουτλουμουσιανός . . . . . . . ,, 2

Ὁ πανοσιώτατος Καθηγούμενος τῆς Υ. Θ. Σπηλαιοκαστρίτισσας, κύριος Ἀγάπιος . . . . . ,, 4

Ὁ πανοσιώτατος Καθηγούμενος τῆς Υ. Θ. Πλατυτέρας, κύριος Συμεών . . . . . . . ,, 2

Ὁ πανοσιώτατος Καθηγούμενος τῆς Ὑψηλῆς Θεοτόκου, κύριος Ἀγαθάγγελος. . . . . . . ,, 2

Ὁ πανοσιολογιώτατος Καθηγούμενος τοῦ Προσφώρου, κύριος Ὀνούφριος. . . . . . . . ,, 2

Ὁ πανοσιώτατος Καθηγούμενος τῆς Υ. Θ. Ὁδηγήτριας, καὶ ἀρχιερατικὸς Ἐπίτροπος, κύριος Γερμανός . . . . . . . . . . . ,, 2

Ὁ πανοσιώτατος Καθηγούμενος τῆς Υ. Θ. Βλαχέρναις, κύριος Γενάδιος . . . . . . . ,, 2

Ὁ πανοσιώτατος Καθηγούμενος τῆς Υ. Θ. Νέου Κάστρου, κύριος Ἰωάννης. . . . . . . ,, 2

Ὁ πανοσιώτατος Καθηγούμενος τῆς Υ. Θ. Μυρτιώτισσας, κύριος Νεκτάριος. . . . . . . ,, 2

Ὁ Ἱερολογιώτατος Ἀρχιδιάκονος τοῦ ἁγίου Κερκύρας, κύριος Ἀθανάσιος . . . . . . . ,, 2

Ὁ αἰδεσιμώτατος Ἀρχιερ. Ἐπίτροπος κύριος Γεώργιος Κάντας. . . . . . . . . . ,, 2

Ὁ αἰδεσιμώτατος Ἀρχιερ. Ἐπίτροπος κύριος Γεώργιος Καβαδίας . . . . . . . . . ,, 6

Ὁ αἰδεσιμώτατος Σακελίων, κύριος Σίμων Κοτινᾶς . ,, 2

Ὁ πανοσιώτατος καὶ Πνευματικὸς, κύριος Συμεὼν Κοντός . . . . . . . . . . . ,, 2

Ὁ αἰδεσιμώτατος καὶ Πνευματικὸς, κύριος Σπυρίδων Κοσκυνᾶς . . . . . . . . . . ,, 2

Ὁ αἰδεσιμώτατος καὶ Πνευματικὸς, κύριος Νικόλαος Κοσκυνᾶς . . . . . . . . . . ,, 2

Ὁ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑ



Ὁ αἰδεσιμώτατος καὶ Πνευματικὸς, κύριος Γεώργιος Τρύφωνας . . . . . . . . . . Σώμ. 2

Ὁ αἰδεσιμώτατος καὶ Πνευματικὸς, κύριος Γεώργιος Μωραΐτης . . . . . . . . . . ,, 6

Ὁ αἰδεσιμώτατος καὶ Πνευματικὸς, κύριος Παναγιώτης Στανέλος . . . . . . . . . ,, 2

Ὁ αἰδεσιμώτατος καὶ Πνευματικὸς, κύριος Γεώργιος Ἁγιώτης . . . . . . . . . . ,, 2

Ὁ αἰδεσιμώτατος καὶ Πνευματικὸς, κύριος Γρηγόριος Κουλούρης . . . . . . . . . ,, 2

Ὁ ἐν Ἱερεῦσι κύριος Φώτιος Κάντας . . . . ,, 50

Ὁ πανοσιώτ. κύριος Ἰάκωβος Προβατᾶς . . . . ,, 2

Ὁ πανοσιώτ. κύριος Εὐγένιος Δολιανίτης . . . . ,, 10

Ὁ πανοσιώτ. κύριος Ζαχαρίας Τζιλιμπάρης . . . ,, 2

Ὁ πανοσιώτ. κύριος Παρθένιος Βριώνης . . . . ,, 4

Ὁ αἰδεσιμολογιώτατος Πρωτοψάλτης τοῦ ἁγίου Κερκύρας, κύριος Ἐλευθέριος Παλατιανός. . . . ,, 2

Ὁ πανοσιολογιώτ. κύριος Χαραλάμπης Κωρακιανίτης . ,, 2

Ὁ αἰδεσιμώτ. Ἐφημέριος τῆς Υ. Θ. Σπαρμιώτισσας, κύριος Φιλόθεος Ῥαψομανίκης . . . . . ,, 4

Ὁ αἰδεσιμώτ. κύριος Γεώργιος Βλάχος . . . . . ,, 2

Ὁ αἰδεσιμώτ. κύριος Δημήτριος Κάντας. . . . . ,, 2

Ὁ αἰδεσιμώτ. κύριος Χριστόδουλος Πελάης. . . . ,, 2

Ὁ αἰδεσιμώτ. κύριος Σπυρίδων Παλαιοχωρίτης . . ,, 2

Ὁ αἰδεσιμώτ. κύριος Γεώργιος Μιχαλᾶς . . . . ,, 2

Ὁ αἰδεσιμώτ. κύριος Ἰωάννης Κομιανός. . . . . ,, 2

Ὁ αἰδεσιμώτ. κύριος Σπυρίδων Ζοχιός. . . . . ,, 2

Ὁ αἰδεσιμώτ. κύριος Ἰωάννης Αὐγερινός . . . . ,, 2

Ὁ αἰδεσιμώτ. κύριος Ἀνδρέας Τζιλιμπάρης . . . ,, 2

Ὁ μουσικολογιώτατος Ἱεροδιάκονος, κύριος Φιλόθεος Καρίδης . . . . . . . . . . . ,, 8

Ὁ ὁσιώτατος κύριος Σπυρίδων . . . . . . . ,, 2

Ὁ αἰδεσιμώτ. κύριος Στέφανος Σαμουΐλης . . . ,, 4

Ὁ λογιώτ. Ἱεροδιάκονος κύριος Ἰωάννης Γαρινέλης. . ,, 4

Ὁ τιμιώτ. Ἀναγν. κύριος Γεώργιος Σουβλάκης . . ,, 4

Ὁ λογιώτ. Ἀναγν. κύριος Στέφανος Λαζάρου . . . ,, 2

Ὁ τιμιώτ. Ἀναγν. κύριος Ἀλέξανδρος Βέρτης. . . ,, 2

Ὁ τιμιώτ. Ἀναγν. κύριος Ἀνδρέας Φραγγούλης . . ,, 4

Ὁ λογιώτ. κύριος Ἀναστάσιος Κωρακιανίτης . . . ,, 2

Ὁ τιμιώτ. κύριος Νικόλαος Κοσκυνᾶς . . . . ,, 2

Ὁ

| | | |
|---|---|---|
| Ὁ τιμιώτ. κύριος Σπυρίδων Μαυρομάτης | Σώμ. | 1 |
| Ὁ τιμιώτ. κύριος Κωνσταντῖνος Τζιλιμπάρης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Δημήτριος Ἁγιώτης | ,, | 2 |
| Ὁ τιμιώτ. κύριος Μιχαὴλ Τζιλιμπάρης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Θεόδωρος Τζιλιμπάρης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Ἀναστάσιος Γερανός | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Γεώργιος Τζιλιμπάρης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Παναγιώτης Τζιλιμπάρης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Ἰωάννης Τζιλιμπάρης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Θεόδωρος Τζιλιμπάρης | ,, | 2 |
| Ὁ τιμιώτ. κύριος Σταμάτιος Τζιλιμπάρης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Χρῆστος Φωτεινός | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Δημήτριος Μιτζιώλης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Σπυρίδων Κλήμης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Θεοτόκης Μάνεσης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Μαργαρίτης Κλήμης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Σταμάτιος Μιχαλᾶς | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Ἰωάννης Σαλβάνος | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Νικόλαος Κρητικός | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Γεώργιος Λοῦβρος | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Δημήτριος Τζιλιμπάρης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Χριστόδουλος Κώντος Μποῦκας | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Νικόλαος Τζιλιμπάρης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Φίλιππος Τζιλιμπάρης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Βασίλειος Τζιλιμπάρης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Νικόλαος Γερανός | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Ἰωάννης Κοντοστάνος | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Γεώργιος Κορονάκης | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Ἰωάννης Τζιλιμπάρης | ,, | 2 |
| Ὁ τιμιώτ. κύριος Ἰωάννης Κωνστ. Βρέτος | ,, | 2 |
| Ὁ τιμιώτ. κύριος Δημήτριος Κοντός | ,, | 2 |
| Ὁ τιμιώτ. κύριος Νικόλαος Καλοδίκης | ,, | 2 |
| Ὁ τιμιώτ. κύριος Θεοδόσιος Μεταξᾶς | ,, | 2 |
| Ὁ τιμιώτ. κύριος Θεοδόσιος Παντής | ,, | 2 |
| Ὁ τιμιώτ. κύριος Θεόφιλος Προβατᾶς | ,, | 1 |
| Ὁ τιμιώτ. κύριος Ἰωάννης Κάντας | ,, | 2 |
| Ὁ τιμιώτ. κύριος Πέτρος Λάσκαρης | ,, | 2 |
| Ὁ τιμιώτ. ῥάπτης κύριος Γρηγόριος Κάκκος | ,, | 12 |